αὶ δὲ μετὰ συμπλοκῆς. Καὶ αἱ μὲν ἄνευ συμπλοκῆς, ἴδιαί τε εἶναι ἥκουσαι τοῦ ἐπιστητοῦ γένους, καὶ ἀρχαὶ τοῦ εἶναι, ἤτοι τῆς ὀντότητος τοῦ αὐτοῦ. αὗται δὲ ἔστι μὲν ὡς τρεῖς οὖσαι, ἔστι δὲ ὡς τέτταρες. Τὸ γὰρ ὑποκείμενον γένος ἐφ' ἑκάστης Ἐπιστήμης, ὅπερ ὑποτίθεται εἶναι, κατὰ τὴν σημασίαν τοῦ ὀνόματος, μίαν ἀπεργάζεται Ἀρχήν, ἥτις θέσις, εἴτ' οὖν ὑπόθεσις ἁπλῆ λέγεται, ὡς ἐπὶ τῆς γεωμετρίας τὸ εἶναι τὴν γραμμήν, καὶ παρὰ τοῖς φυσικοῖς τὴν φύσιν εἶναι. εἴτουν τὸ φυσικὸν σῶμα.

Καθὸ δὲ τὸ αὐτὸ ὑποκείμενον γένος, γινώσκεται τί ἐστι, συνίστησιν ἑτέραν ἀρχήν, ἥτις ἐστὶν ὁ ὁρισμὸς τοῦ αὐτοῦ, καὶ λέγεται Θέσις. εἰ γὰρ καὶ ἀρχομένων τῶν Ἐπιστημῶν ἐνδέχεται τὸν ὁρισμὸν τοῦ ἐπιστητοῦ γένους ἀγνοεῖσθαι, καὶ ἀπὸ τῶν ὑστέρων θηρεύεσθαι, προκόπτειν μέντοι τὴν Ἐπιστήμην ἐπὶ τὸ τελεώτερον, καὶ ἀκριβέστερον ληφθῆναι, οὐκ ἔστι, μὴ ἐντελῶς ληφθέντος τοῦ ὁρισμοῦ τοῦ ἐπιστητοῦ γένους. ἐκ τούτου γὰρ ὡς δι' αἰτίας πάντα συνάγεται τὰ ἴδια τοῦ ὁριστοῦ πάθη. οὕτως ἐπὶ τῶν μαθηματικῶν, πρὸ τῶν ἄλλων ἁπάντων ἐκτίθενται οἱ ὁρισμοί, Γραμμῆς, Ἐπιφανείας, καὶ τῶν λοιπῶν. καὶ ἐπὶ τῶν φυσικῶν τῆς φύσεως, Ὕλης, καὶ Εἴδους, καὶ τῶν τοιούτων.

Τρίτη ἐστὶν Ἀρχὴ ἡ τοῦ πάθους πρόγνωσις, ὅπερ ὑποτίθεται προεγνωσμένον κατὰ τὸν ὀνοματώδη λόγον, ὡς ἐπὶ τῆς ἀριθμητικῆς ὑποτίθεται, τί τὸ ἄρτιον καὶ περιττόν. Οὐκ ἔστι μέντοι τὰ πάθη προγνωσθῆναι κατὰ τὸν οὐσιώδη αὐτῶν λόγον. τοῦτο γὰρ διὰ τῆς ἀποδείξεως συνάγεται, ὡς ἀνωτέρω ἐν τῷ πρώτῳ κεφαλαίῳ μετὰ τοῦ Φιλοσόφου εἴρηται. Καὶ παρὰ ταύτας ἡ γνῶσις τῶν ἀρχῶν καὶ αἰτίων τοῦ ἐπιστητοῦ γένους.

## Περὶ τῶν κατὰ συμπλοκὴν Ἀρχῶν.

ΑΙ κατὰ συμπλοκὴν ἀρχαί, διττοῦ γένους εἰσίν. αἱ μὲν γὰρ κοιναί, ὡς πλείοσιν Ἐπιστήμαις ὑπηρετοῦσαι, αἱ δὲ ἴδιαι ἐφ' ἑκάστης Ἐπιστήμης. Καὶ κοιναὶ μὲν εἰσιν, ὅσαι καθ' ἑαυτάς, καὶ ᾗ τοιαῦταί εἰσι, φύσει πᾶσι τυγχάνουσαι ληπταί, ληφθείσης μόνον τῆς σημασίας τῶν ὅρων, αἵτινες καὶ ἀξιώματα, καὶ κοιναὶ προσαγορεύονται ἔννοιαι. ἃς ἀνάγκη τὸν μαθητιῶντα ἔχειν πρὸ τοῦ φοιτῆσαι τῷ διδασκάλῳ. Τὰς δὴ τοιαύτας, ὅτι μὴ δεῖ προσαγορεύειν ὑποθέσεις, ὁ Ἀριστοτέλης διδάσκει ἐπὶ τοῦ παρόντος δεκάτου κεφαλαίου. καίτοι γὰρ ἔσθ' ὅτε συμβαίνει μὴ ἀποδέχεσθαι ταύτας ὑπὸ τῶν ἐριστικωτέρων, καὶ μάλιστα ἰσχυρο-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γινομένων Σοφιστῶν, οὐ μὴν διὰ τοῦτο ὑποθετέα δεῖ οἴεσθαι τὰ τοιαῦτα ἀξιώματα ὡς ἀσαφῆ, καὶ ἀμφισβητούμενα, ἀλλ᾽ ὡς ἐναργῆ καὶ ἀναντίρρητα ἀεὶ ἐννοοῦνται. καὶ αὐτοὶ γὰρ οἱ ἀναιροῦντες Σοφισταὶ ταῦτα, τῷ λόγῳ μόνῳ ἀποφάσκουσι, τῇ δὲ διανοίᾳ ἐγκρίνουσι, καὶ μὴ βουλόμενοι ταῦτα. Ἡ γὰρ Ἀπόδειξις, οὐ περὶ τὰς φωνάς, καὶ τὸν ἔξω λόγον ἐστίν, ἀλλὰ πρὸς τὸν ἔσω, καὶ τὸν ἐν τῇ ψυχῇ. ὁ δὲ νοῦς ἀναγκάζεται τὴν ἐναργῆ καὶ σαφεστάτην ἀλήθειαν τῶν τοιούτων ἀρχῶν ἐγκρίνειν.

Τῶν δὲ τοιούτων κοινῶν ἀρχῶν, αἱ μὲν εἰσὶ πάσαις Ἐπιστήμαις κοινόταται, ὡς τὸ κατὰ μηδενὸς τὸ αὐτὸ φάναι καὶ ἀποφάναι ἐστὶν ἀληθές. καὶ τὸ κατὰ παντὸς φάναι, ἢ ἀποφάναι τὸ αὐτὸ ψευδές. Αἱ δ᾽ ἧττον εἰσὶ κοιναί, αἷς περ οὐ πᾶσαι κέχρηνται Ἐπιστῆμαι, ὡς τὸ εἰ ἀπὸ ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἐστὶν ἴσα. καὶ τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα, καὶ ὅσ᾽ ἄλλα, ἅπερ γεωμετρικὰ ὄντα, καὶ ἐπ᾽ ἄλλων Ἐπιστημῶν μεταφέρεται.

Ἕτερον γένος τῶν κατὰ συμπλοκὴν Ἀρχῶν ἐστὶ τῶν ἰδίᾳ ἑκάστῃ προσηκόντων Ἐπιστήμῃ, ἃς καὶ διεῖλέ τις κατὰ τὴν ἐκτεθεῖσαν τῷ Φιλοσόφῳ διαίρεσιν ἐπὶ τοῦ δευτέρου κεφαλαίου εἰς Θέσιν δηλαδὴ καὶ Ὑπόθεσιν κοινότερον ἐννοουμένην. τὴν δὲ ὑπόθεσιν αὖθις εἰς αἰτήματα, εἴτ᾽ οὖν λήμματα, καὶ εἰς τὰς εἰδικώτερον λεγομένας ὑποθέσεις. Τούτων Θέσεις μὲν ὁ Φιλόσοφος ἐν τῷ εἰρημένῳ δευτέρῳ κεφαλαίῳ ἔλεγεν εἶναι τοὺς ὁρισμούς. ἐπὶ τοῦ παρόντος δὲ τοῦτο ἀπόφησι, καὶ εἰκότως. ὁ γὰρ ὁρισμός, τῶν ἄνευ συμπλοκῆς Ἀρχῶν ἐστίν, ὡς ἀνωτέρω εἴρηται. ἐπειδὴ μέντοι ὁ ὁρισμὸς ἐσθ᾽ ὅτε μετὰ τοῦ ὁριστοῦ λαμβανόμενος, ἀρχὴν κατὰ συμπλοκὴν ἀποτελεῖ, ἐν τρόπον ἔτι καὶ ἐπὶ τὰς ἀρχὰς τὰς κατὰ συμπλοκὴν ἀναφέρεται.

Ἡ δὲ Ὑπόθεσις, πρότασις ἐστίν, οὐκ ἀναπόδεικτος μέν, ὑποτιθεμένη δὲ ὑπὸ τοῦ διδάσκοντος, ἢ προσδιαλεγομένου ἄνευ ἀποδείξεως, ἵνα μὴ διακόπτηται ἡ διδασκαλία. ἥτις εἰ μὲν ἀληθής τε εἴη, καὶ μὴ παντάπασιν ἀσαφής, ἀλλὰ κοινῇ γνώμῃ ὑπὸ πάντων τῶν περὶ τὴν τοιαύτην Ἐπιστήμην ἐγκρινομένη, ὑπόθεσις ἁπλῶς λέγεται, οἷαι εἰσὶν αὗται, παρὰ μὲν τοῖς Μαθηματικοῖς, ἐπὶ παντὸς σημείου κύκλον γράφεσθαι. παρὰ δὲ τοῖς Φυσικοῖς, ἐκ τοῦ μηδενός, μηδὲν γίγνεσθαι. καὶ ἐπὶ τοῖς Ἰατροῖς, τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, καὶ ὅσ᾽ ἄλλα. Ἂν δὲ μόνοις τοῖς ἀκροωμένοις πιθανὴ ἡ πρότασις εἴη, οὐ πᾶσι δὲ ἐγκρινομένη τοῖς ἐπαγγελομένοις τὴν Ἐπιστήμην, οὐχ ἁπλῶς ὑπόθεσις λέγεται,

Ε.Υ. ΔΗΣ Κ.Ε.Π
ΙΩΑΝΝΙΝΑ 2006

γεται, ἀλλὰ πρὸς μόνους τοὺς ἀκούοντας, ἢ προσδιαλεγομένους. Εἰ δὲ μήτε τοῖς ἀκροωμένοις ἢ προσδιαλεγομένοις ἐγκρίνεται, ὑποτίθεται μέντοι ἀντὶ ἀποδείξεως, αἴτημα, ἔσθ᾽ ὅτε δὲ καὶ λῆμμα προσαγορεύεται. αἰτεῖ γὰρ ὁ διδάσκων, ἢ ὁ προσδιαλεγόμενος δοθῆναι αὐτῷ τὴν τοιαύτην πρότασιν, ἐξ ἧς ἕτερόν τι συναγαγεῖν χρήζει.

## Ἀπορία περὶ τὰς Ὑποθέσεις.

Ἠμφισβήτηται δὲ καὶ τοῖς πάλαι φιλοσοφήσασιν ἀμφὶ τὰ εἰρημένα περὶ τῆς Ὑποθέσεως, ὅτι πολλάκις ἐπὶ τῶν Ἐπιστημῶν ψευδεῖς ὑποθέσεις γίνονται. παρὰ μὲν γὰρ τοῖς Γεωμέτραις ὑποτίθεται ποδιαία, ἡ μὴ ποδιαία, καὶ ὀρθὴ ἡ μὴ οὖσα ὀρθή. τοῦτο δὲ συμβαίνει πάντως δι᾽ ἔλλειψιν τῶν γραφόντων τὰ διαγράμματα, ἤτουν τὰς γραμμάς. ὅθεν ἡ ἐκ τοιούτων ὑποθέσεων προβαίνουσα ἀπόδειξις ψευδῶς συμπεραίνει, καὶ ψεῦδος ἐγγίνεται ταῖς Ἐπιστήμαις.

Ταύτην τὴν ἀπορίαν ὁ Φιλόσοφος ἐν τῷ τέλει τοῦ παρόντος κεφαλαίου ἐπιλυόμενος φησίν, ὡς οὐδὲν ἡ Γεωμετρία συνάγει ἐκ τῶν τοιούτων γραμμῶν, ἣ τυγχάνει γεγραμμένα ποιῶς δέ, ἢ ποσαχῶς, ἀλλ᾽ ὃ συνάγει, καθ᾽ αὑτὸ ἐννοεῖ τὴν ποδιαίαν τε, καὶ ὀρθήν, ἅπερ διὰ τῶν εἰρημένων σημείων δηλοῦνται. εἰ γὰρ καὶ μὴ τοιαῦται ὦσιν αἱ γεγραμμέναι, ἀλλὰ δηλωτικαὶ τοιούτων εἰσίν. Ὁ δὲ Γεωμέτρης ἐκ τῶν δηλουμένων διδάσκει καὶ ἀποδείκνυσιν, οὐκ ἀπὸ τῶν γεγραμμένων.

Τῶν ὑποθετικῶν ἀρχῶν
- Αἱ μὲν ἄνευ συμπλοκῆς,
  - Τοῦ ὑποκειμένου γένους.
    - Τὸ ὅτι ἐστὶ κατὰ τὸν ὀνοματώδη λόγον.
    - Ὁρισμὸς οὐσιώδης.
  - Τοῦ πάθους. — Ὅρος ὀνοματώδης.
- Αἱ δὲ μετὰ συμπλοκῆς.
  - Κοιναί.
    - Κοινόταται.
    - Καὶ ἧττον κοιναί.
  - Ἴδιαι.
    - Θέσις. ἥτις ἐστὶ πρότασις ἀναπόδεικτος.
    - Ὑπόθεσις ἁπλῶς.
      - Ὑπόθεσις ἐπὶ μέρους.
      - Αἰτήματα, εἴτ᾽ οὖν λήμματα.

ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΙΩΑΝΝΙΝΑ 2006

# ΚΕΦΑ'ΛΑΙΟΝ ΔΕ'ΚΑΤΟΝ ΠΡΩ'ΤΟΝ.

„ Τὸ μὴ ἐνδέχεσθαι ἅμα φάναι καὶ ἀποφάναι οὐδὲ μία λαμβάνει ἀ-
„ πόδειξις.

Ε'Πὶ τοῦ προτεθέντος δεκάτου πρώτου κεφαλαίου ὁ Φιλόσοφος διδάσκει τὴν χρῆσιν τῶν κοινῶν ἀρχῶν, ὅτι οὐ προσχρώμεθα ταύταις ἐπὶ τῶν καθ' ἕκαστα Ἐπιστημῶν ὡς καθόλου, ἀλλὰ συνεσταλμέναις, καὶ προσῳκειωμέναις τῷ ἐπιστητῷ γένει ἑκάστης. Εἴρηται γὰρ ἀνωτέρω ἐπὶ τοῦ ἑβδόμου κεφαλαίου καὶ ἐνάτου μὴ ἄλλως συνάγεσθαι τὴν Ἐπιστήμην τὴν ἀποδεικτικὴν, ὅτι μὴ δι' ἀρχῶν οἰκείων, καὶ συγγενῶν τῷ συναγομένῳ. (1) προσεχῶς δὲ μετὰ τοῦ Φιλοσόφου ἐλέγετο, συντίθεσθαι τὰς ἀποδείξεις, καὶ ἐκ τῶν κοινῶν ἀρχῶν.

Εἰς ἀναίρεσιν τοιγαροῦν τῆς ἀπορίας ταύτης ῥητέον μετὰ τοῦ Φιλοσόφου. Πρῶτον μὲν ὅτι οὐκ ἐπὶ πάσης αὐτῶν τῆς κοινότητος ὁ Φιλόσοφος κέχρηται τοῖς ἀξιώμασιν, ἐφ' ἑκάστης τῶν κατὰ μέρος Ἐπιστημῶν, ἀλλὰ συνεσταλμένοις, πρὸς τὸ ἴδιον ἑκάστης ἐπιστητὸν γένος. Ὁ γὰρ φυσικὸς οὐκ ἐρεῖ ὡς οὐκ ἔξεστι ἅμα φάναι καὶ ἀποφάναι τὸ αὐτὸ κατὰ τοῦ αὐτοῦ, ἀλλ' ὅτι ἀδύνατον τὸ αὐτὸ κινεῖσθαι καὶ μὴ κινεῖσθαι, καὶ ἀλλοιοῦσθαι καὶ μὴ ἀλλοιοῦσθαι. Δεύτερον ῥητέον. ὅτι κοινὰς εἶναι λέγοντες τὰς ἀρχὰς, οὐχ οὕτω κοινὰς ἐννοοῦμεν, ὡς συνωνύμως ἔχειν πρὸς πάσας τὰς Ἐπιστήμας. οὐδὲν γὰρ δίδοται κοινὸν συνωνύμως διαφόροις ἐπιστητοῖς γένεσιν. ἀλλὰ κοινὰς χρὴ τὰς ἀρχὰς ἐννοεῖν, κατὰ ἀναλογίαν, ὡς ἐν τῷ προληφθέντι κεφαλαίῳ ἐδίδαξεν ὁ Φιλόσοφος. Τοῦτο δὲ περὶ μὲν τῶν εἰρημένων δύο πρωτίστων ἀρχῶν, ἀναμφισβήτητόν ἐστιν. ἐπειδὴ γὰρ ἐκεῖναι προσήκουσι τῷ ὄντι ἁπλῶς κατὰ πᾶσαν αὐτοῦ τὴν περίληψιν, τὸ δὲ ὂν ὁμωνύμως κατηγορεῖται κατὰ τῶν γενικωτάτων γενῶν, ὡς τὰ ἀφ' ἑνὸς, ἢ πρὸς ἕν, καὶ τὰ προσήκοντα τούτῳ ἁπλῶς ἀξιώματα ὁμωνύμως προσήκειν ἑκάστῳ ἐπιστητῷ γένει πρόδηλον. ἀλλὰ καὶ τὰ λοιπὰ ὅσα ἧττον εἰσὶ κοινὰ ἀξιώματα, ὁμοίως προσήκειν τοῖς διαφόροις ἐπιστητοῦ γένεσι φανερόν. τὸ γὰρ μεῖζον εἶναι τὸ ὅλον τοῦ οἰκείου μέρους, κοινόν ἐστιν ἀνάλογος Γεωμετρίᾳ καὶ Ἀριθμητικῇ. ὃν γὰρ ἔχει λόγον τὸ ὅλον μέγεθος πρὸς τὸ οἰκεῖον αὐτοῦ μέρος, τὸν αὐτὸν ἔχει καὶ ὅλος ὁ ἀριθμὸς ἐπὶ τὸ μέρος.

ΚΕΦΑ'-

(1) Ἀ'πορία.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝΔΕΥΤΕΡΟΝ.

„ Εἰ δὲ τὸ αὐτὸ ἐστὶν ἐρώτημα συλλογιστικὸν, καὶ τὰ ἑξῆς.

ΕΠὶ τοῦ δευτέρου καὶ δεκάτου κεφαλαίου ὁ Φιλόσοφος, ἵνα μήτις νομίσῃ τῆς διαλεκτικῆς μόνης ἔργον εἶναι ἐρωτήσεις προβάλλειν τοῖς διαλεγομένοις, διδάσκει τοῦτο καὶ ἐπὶ τῶν λοιπῶν Ἐπιστημῶν γίγνεσθαι, καὶ ἅμα τὰς ἐπιστημονικὰς ἐρωτήσεις ἐξηγεῖται, καὶ ὅπως διενηνόχασι τῶν διαλεκτικῶν ἐρωτήσεων ἐκτίθεται.

# ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΤΡΙΤΟΝ.

## Περὶ τῆς τοῦ Ὅτι ἀποδείξεως.

„ Τὸ δὲ Ὅτι διαφέρει καὶ τὸ Διότι ἐπίστασθαι.

ΠΑραδοὺς ὁ Φιλόσοφος ἐς τόδε τὸν τρόπον τῆς ἀποδεικτικῆς δείξεως, ἢ μᾶλλον εἰπεῖν τὰς διαφορὰς τῶν ἀρχῶν τῆς κυριωτάτης ἀποδείξεως, ἥτις διὰ τὸ προβαίνειν ἐξ αἰτίας, δι᾽ ἣν τὸ δεικνύμενον ἐστὶ, διὰ τοῦτο καὶ ἀπόδειξις τοῦ διότι καλεῖσθαι εἴωθε. διδάσκει νῦν ἤδη περὶ τῆς ἀποδείξεως τῆς δευτέρας τάξεως, ἥτις καὶ ἀπόδειξις τοῦ ὅτι κοινότερον λέγεται. Εἴρηται δὲ ἀπόδειξις τοῦ Ὅτι, ἡ μὴ δεικνύουσα τὸ συναγόμενον τὸ διατί ἐστιν. ἀλλὰ μόνον τὸ ὅτι ἐστί. Ταύτης δὲ διττὸν εἶδος προβάλλεται ἐπὶ τοῦ παρόντος παρὰ τοῦ Φιλοσόφου. ἡ μὲν γὰρ κέχρηται τῷ αἰτιατῷ ὡς μέσῳ εἰς δεῖξιν τῆς αἰτίας, ᾗ χρώμεθα ἐφ᾽ ὧν τὸ αἰτιατὸν γνωριμώτερον ἐστὶ τῆς αἰτίας. ἥτις καὶ τεκμηριώδης λέγεται συλλογισμὸς, ἡνίκα τὸ αἰτιατὸν ἀποτέλεσμα ἀντιστρέφει τῇ αἰτίᾳ, καὶ μεθαρμόζεται αὐτὴ ῥαδίως ἐπὶ τὴν τοῦ διότι ἀπόδειξιν, ἀντιστρεφομένης θατέρας τῶν προτάσεων εἰς αὐτήν. Παραδείγματα δὲ ταύτης ἐπάγει ὁ Φιλόσοφος ἀπό τε τῶν ἀστέρων καὶ Σελήνης, οἷον τὸ ἐγγὺς εἶναι, αἴτιον τοῦ μὴ στίλβειν τοὺς πλανήτας, τὸ δὲ μὴ στίλβειν αἰτιατὸν, ὅπερ ὡς μέσον ληφθὲν, συνάγεται τοὺς πλανήτας ἀστέρας ἐγγὺς εἶναι. σχηματιστέον ὡδί. Οἱ μὴ στίλβοντες ἀστέρες ἐγγύς εἰσιν. οἱ πλανῆτες οὐ στίλβουσιν. ἄρα ἐγγὺς εἰσί. Ταύτης δὲ τῆς δείξεως, εἴτις ἀντιστρέψει τὴν μείζονα εἰς ἑαυτὴν, μεθαρμόσει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σει ταύτην εἰς τὴν ἀπόδειξιν τοῦ διότι. ληφθήσεται γὰρ τηνικαῦτα τὸ ἐγγὺς εἶναι ὡς μέσον, ὅπερ ἐστὶν αἰτία τοῦ μὴ στίλβειν ὡδί. οἱ ἐγγὺς ὄντες ἀστέρες οὐ στίλβουσιν, οἱ πλανῆτες εἰσὶν ἐγγύς, ἄρα οὐ στίλβουσιν. Ἕτερον προτίθησιν ὁ Φιλόσοφος παράδειγμα, δεικνύων τὸ σφαιροειδὲς τῆς Σελήνης ἀπὸ τῶν διαφόρων φωτισμῶν, ὅπερ ἐπὶ τῆς λέξεως προφανές.

Ἡ δὲ (1) ἑτέρα διαφορὰ τῆς τοῦ Ὅτι ἀποδείξεως ἐστίν, ἥτις διὰ τῆς πόῤῥω αἰτίας, καὶ μὴ προσεχοῦς, εἰς δεῖξιν προβαίνει τοῦ αἰτιατοῦ. Κέχρηται δὲ ὁ Φιλόσοφος εἰς δήλωσιν τούτου, παραδείγματι τοιῷδε. Πᾶν τὸ ἀναπνέον ἐστὶ ζῶον. (2) οὐδεὶς τεῖχος ἐστὶ ζῶον. ἄρα οὐδεὶς τεῖχος ἀναπνεῖ. Ἐν τούτῳ εἴληπται τὸ ζῶον, ὡς αἴτιον τοῦ ἀναπνεῖν. Εἰς δήλωσιν δὲ τῆς προσεχοῦς αἰτίας, παραδίδωσιν ἡμῖν ὁ Φιλόσοφος κανόνα τοιοῦτον, ὅτι ἡ τῆς προσεχοῦς αἰτίας ἀναίρεσις, αἴτιον γίνεται τῆς καθάπαξ ἀναιρέσεως τοῦ αἰτιατοῦ. ὥσπερ καὶ ἡ κατάφασις τῆς αἰτίας, αἴτιον ἐστὶ τῆς τοῦ (3) ἀποτελέσματος καταφάσεως. ἀεὶ γὰρ ἡ προσεχὴς αἰτία εἰσαγομένη, συνεισάγει (4) τὸ αἰτιατόν, καὶ ἀναιρουμένη συναναιρεῖ. Τὸ δὲ ζῶον καίτοι συναναιροῦν ἀναιρούμενον τὸ ἀναπνεῖν, εἰσαγόμενον μέντοι, οὐ συνεισάγει (5) τὸ αὐτό. πολλὰ γὰρ εἰσὶ τὰ μὴ ἀναπνέοντα τῶν ζώων. οὐ γὰρ πᾶν ζῶον ἀναπνεῖ, ὅτι μὴ τὰ πνεύμονα ἔχοντα, ὅπερ ἐστὶν αἴτιον προσεχὲς τοῦ ἀναπνεῖν.

## Τίσι διαφέρει ἡ ἀπόδειξις τοῦ Διότι, τῆς ἀποδείξεως τοῦ Ὅτι.

„ Ὅθεν καὶ ὅτι οὐκ ἔστι γένος κοινὸν ἡ ἀπόδειξις κοινότερον λεγομέ-
„ νη, τῆς τοῦ Διότι καὶ Ὅτι ἀποδείξεως συνάγεται.

Ὅτι δὲ ἡ τοῦ Διότι ἀπόδειξις ἡ κυρίως καὶ τελεωτάτη ἐστὶν ἀπόδειξις, ὁμολογούμενον παρὰ πᾶσιν ἐστίν. ταύτῃ γὰρ πᾶσαι προσήκουσιν αἱ διαφοραί, ἃς ὁ Φιλόσοφος ἀναγκαίως προσεῖναι ταῖς ἀποδεικτικαῖς

ἀρχαῖς

(1) Δεῖ δὲ εἰδέναι ὅτι ἡ τοῦ ὅτι ἀπόδειξις ἐκ τῶν πόῤῥω συνάγεται ἀποφατικῶς. (2) Θάμβεινον. (3) Οἷον δοθείσης τῆς αἰτιφράξεως, ἀνάγκη ἕπεσθαι τὴν ἔκλειψιν ὡς ἀποτέλεσμα. ἢ ἄλλως, ὡς αἰτιατόν, δοθέντος λογικοῦ, ἀνάγκη καὶ γελαστικόν. (4) Αἰτιατὸν ἢ ἀποτέλεσμα κατὰ διάμετρον διενήνοχε. τὸ μὲν γὰρ ἀποτέλεσμα ἔχει τὸ εἶναι ἀπὸ ἐξωτερικῆς αἰτίας πράγματι διαφερούσης, τὸ δὲ αἰτιατὸν ἐξ ἐνδεχομένης καὶ τῆς αὐτῆς οὐσίας, τῷ λόγῳ μόνον διαφέρον τῆς φύσεως. (5) Τὸ αἰτιατόν.

Ε.Υ. Δ.της Κ.Γ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀρχαῖς, εἰς ἀπόκτησιν τῆς τελειοτάτης Ἐπιστήμης, ἀνωτέρω ἐξέθετο. Αἱ δὲ ἀποδείξεις τοῦ Ὅτι κατ᾿ ἔλλειψιν τινῶν τῶν προσηκόντων τῇ κυρίως ἀποδείξει συμβεβήκασι. διὸ οὐδὲ κυρίως ἀποδείξεις λέγονται, ἀλλ᾿ ἐφ᾿ ὅσον (1) τινῶν τῶν προσηκόντων τῇ κυρίως ἀποδείξει μετέχουσιν. Ἦν δὲ ἐν τοῖς προσήκουσι τῇ κυρίως ἀποδείξει, καὶ τὸ γνωριμωτέρας εἶναι τὰς ἀρχὰς ἐκείνης, καὶ προτέρας τῇ φύσει, καὶ αἰτίας τοῦ συναγομένου πράγματος ἐν ταῖς ἀποδείξεσιν, ἀλλ᾿ οὐχὶ μόνον τῆς γνώσεως. Τούτων δὲ ἡ διὰ τοῦ αἰτιατοῦ ἀπόδειξις ἐστέρηται. ἡ γὰρ τῷ αἰτιατῷ χρωμένη ὡς μέσῳ ἀπόδειξις, ἀπὸ τῶν προτέρων καὶ γνωριμωτέρων μόνον καθ᾿ ἡμᾶς προβαίνει, εἰς δήλωσιν τῆς αἰτίας. Ἡ δὲ (2) λοιπὴ τοῦ Ὅτι ἀπόδειξις, ἡ διὰ τῆς μὴ προσεχοῦς ὁρμωμένη αἰτίας, ἐλλειπὴς ἐστὶ τῆς κυρίως ἀποδείξεως, τῷ μὴ διὰ τῶν προτέρων καὶ ἀμέσων συμπεραίνειν. ἡ γὰρ μείζων πρότασις ἐπ᾿ αὐτῆς οὐκ ἀναπόδεικτός ἐστιν, ἀλλὰ μέσον (3) ἔχοι δι᾿ οὗ ἀποδειχθείη. ὃν τρόπον ἀνωτέρω ἐπὶ τοῦ ἐκτεθέντος παραδείγματος καθορᾶται. Δεύτερον ἐλλείπει, τὸ μὴ δι᾿ αἰτίας τῆς τοῦ πράγματος προβαίνειν, οἷα ἐστὶν ἡ προσεχὴς μόνη αἰτία, ἀλλὰ δι᾿ αἰτίας πορρωτέρω, καὶ ὑλικῆς, δι᾿ ἧς συνάγεται μόνον (4) μὴ συνεῖναι τὸ ζητούμενον.

Ὅθεν ἅμα καὶ γίγνεται φανερὸν, τὴν ἀπόδειξιν κοινότερον ἐννοουμένην, μὴ εἶναι γένος τῆς τοῦ διότι καὶ ὅτι ἀποδείξεως. οὐ γὰρ ὁμοίως μετέχουσι τῶν (5) συστατικῶν τῆς ἀποδείξεως, ἡ τοῦ ὅτι καὶ τοῦ διότι ἀπόδειξις. διὸ οὐδὲ συνωνύμως ἀμφοῖν κατηγορεῖται ἡ ἀπόδειξις, ἀλλ᾿ ὁμωνύμως, ὡς τὰ ἀφ᾿ ἑνὸς, ἢ πρὸς ἕν. Αἱ γὰρ τοῦ ὅτι ἀποδείξεις ἐπὶ τοσοῦτον τῆς ἐπωνυμίας μετεσχήκασι τῆς κοινῆς, ἐφ᾿ ὅσον καὶ τῶν συστατικῶν μετέχουσι τῆς ἀποδείξεως, ἐλαττοῦνται γὰρ κατ᾿ οὐσίας αἱ ἀποδείξεις τοῦ ὅτι, τῶν ἀποδείξεων τοῦ διότι. οἷον οὐσιωδῶς διαφέρουσι, διαφορῶν, γενῶν, καὶ τῶν τοιούτων.

## Περὶ τῆς ὑπαλληλίας τῶν ἐπιστημῶν.

„ Ἄλλον δὲ τρόπον διαφέρει τοῦ Διότι τὸ Ὅτι.

Ἐδίδαξεν ἐς τόδε ὁ Φιλόσοφος τίνα τρόπον ἐπὶ τῆς αὐτῆς Ἐπιστήμης συμβαίνει γίγνεσθαι τὴν τοῦ διότι καὶ ὅτι ἀπόδειξιν. ἐντεῦθεν



(1) Ἰδιωμάτων. (2) Ἤτοι ἡ δευτέρα ἡ διὰ τῆς πόῤῥω αἰτίας δεικνύουσα τὸ αἰτιατόν. (3) Ἤτοι πᾶν ζῶον ἀναπνεῖ, ἔχοι μέσον τὸ πνεύμονας, δι᾿ οὗ ἀποδειχθείη. (4) Ἤτοι ἀποφατικὸν συμπέρασμα. (5) Διαφορῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦτο διδάσκει, ὅπως ἐπὶ τῶν διακεκριμένων Ἐπιστημῶν, οὐ μὴν παντάπασιν (1) ἀπεχοινισμένων, ὧν ἡ μὲν ἑτέρα τὴν τοῦ (2) διότι ἔχει ἀπόδειξιν, ἡ δὲ λοιπὴ τὴν τοῦ ὅτι. Τὰς δὲ τοιαύτας ἐπιστήμας ὑπαλλήλους κοινότερον οἱ νεώτεροι προσαγορεύουσιν, ὅτι δηλαδὴ ἡ ἑτέρα ὑφ' ἑτέραν τελεῖ. Εἰς κατάληψιν δὲ τούτου, ληπτέον, ὅτι διχῶς ἐνδέχεται λέγεσθαι ἐπὶ τῶν ἕξεων, θάτερον ὑπὸ θάτερον. Ἢ διὰ τὸ τέλος, ἢ διὰ τὸ ὑποκείμενον γένος, καὶ τὰς ἀρχάς. Ἀλλὰ κατὰ μὲν τὸν πρῶτον τρόπον, οὐδεμία θεωρητικὴ Ἐπιστήμη ὑφ' ἑτέραν Ἐπιστήμην τελεῖ. πᾶσαι γὰρ αἱ θεωρητικαὶ ἕξεις, δι' αὐτὰς πορίζονται, καὶ τέλος οἰκεῖον ἐσχήκασι καθ' ἑαυτό, καὶ οὐδεμιᾷ ἄλλῃ ὑπηρετοῦσιν ἕξει, (τῶν δὲ ποιητικῶν ἕξεων εἰσίν, αἳ μὴ δι' ἑαυτὰς εἰσὶν ὠφέλιμοι, ἀλλ' εἰς ὑπηρεσίαν ἐπινενόηνται) τῷ λόγῳ δὲ τοῦ ὑποκειμένου γένους, καὶ τῶν κατ' ἐκεῖνο ἀρχῶν, εἰσί τινες καὶ ἐν ταῖς θεωρητικαῖς ἕξεσιν, ὧν ἡ ἑτέρα ὑφ' ἑτέραν τελεῖ. καὶ τοῦτο συμβαίνει, ἐφ' ὧν τὸ ἐπιστητὸν γένος, ὅπερ ἐπὶ τῆς ἀνωτέρω Ἐπιστήμης θεωρεῖται πάσης κεχωρισμένον ὕλης, ἡ ὑποβεβηκυῖα Ἐπιστήμη θεωρεῖ μετά τινος διαφορᾶς αἰσθητῆς, ὅπερ ἐστὶ μάλιστα προφανὲς ἐπὶ τῶν μαθηματικῶν. ὃν τρόπον ἐνταῦθα ὁ Φιλόσοφος διδάσκει ἔχειν τὴν Μουσικὴν πρὸς Ἀριθμητικήν, καὶ τὴν Ὀπτικὴν πρὸς Γεωμετρείαν. πρόσθες καὶ τὴν Μηχανικὴν πρὸς Στερεωμετρείαν. καὶ τὴν περὶ τὰ φαινόμενα Ἀστρολογίαν, πρὸς τὴν μαθηματικὴν Ἀστρολογίαν. τὸν αὐτὸν γὰρ ἀριθμόν, ὃν ἡ Ἀριθμητικὴ πάσης ἀπηλλαγμένον ὕλης θεωρεῖ, καὶ ἡ Μουσικὴ ἐξετάζει οὐ καθ' ἑαυτόν, ἀλλ' ἐν ταῖς φωναῖς. ἡ δὲ φωνὴ ποιότης ἐστὶν αἰσθητή. Τὸν αὐτὸν τρόπον καὶ ἡ Ὀπτικὴ θεωρεῖ τὰς γραμμάς, ᾗπερ εἰσὶ θεαταί, ἃς ἡ Γεωμετρεία κεχωρισμένας ἐξετάζει καθ' ἑαυτάς. Ὁμοίως καὶ τῆς Στερεωμετρείας, τὰ σώματα καθ' ἑαυτὰ θεωρούσης, ἡ Μηχανικὴ ᾗ βάρος ἔχοντα ἐξετάζει ταῦτα. διδάσκουσα ὅπως τὰ μεγάλα βάρη μεταβαίνειν ἀπὸ τόπου εἰς τόπον δυνατόν. Ὁμοίως καὶ ἡ περὶ τὰ φαινόμενα ἐν τοῖς ἄστροις παρατήρησις, ἣν οἱ νεώτεροι Ἀστρολογίαν ναυτικήν, καὶ ἀγροτικὴν εἰώθασιν ἀποκαλεῖν, ἐξετάζει τὰς ἐπιτολὰς καὶ δύσεις τῶν ἀστέρων, καὶ ὅλως τὰς

(1) Κεχωρισμένων. (2) Φέρε εἰπεῖν, ἡ ἀριθμητικὴ θεωρεῖ τὸν ἀριθμὸν καθ' ἑαυτόν, ὅθεν καὶ τοῦ διότι ἀπόδειξις γίνεται, ὡς ἐξ αἰτίας. ἡ δὲ μουσικὴ καθὸ ἐν τῇ φωνῇ καὶ ἐκ τῶν ὑστέρων, ὅθεν καὶ τοῦ ὅτι εἰκότως ἐστὶν ἀπόδειξις. δοθείσης γὰρ τῆς οὐσίας τοῦ ἀριθμοῦ ἕπεται εἶναι καὶ ἐν φωνῇ. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ὡς καὶ ἡ στερεομετρεία θεωρεῖ τὰ σώματα καθ' ἑαυτά, ἡ δὲ μηχανικὴ ᾗ βάρος ἔχοντα. διὸ μὴ ὄντος σώματος, οὔτε βάρος, οὐ μὴν δὲ καὶ ἀνάπαλιν. εἰκότως ἄρα ἡ μὲν ἐκ τοῦ διότι, ἡ δὲ ἐκ τοῦ ὅτι ἐπιχειρεῖ.

Ε.Υ. Δήτης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰς ἐν τῷ Οὐρανῷ εἰκόνας ἢ φαίνονται, ἅπερ καθ᾽ ἑαυτὰ ἡ ἐπιστημονικὴ ἀστρολογία θεωρεῖ.

Ἐπειδὴ τοιγαροῦν τὸ ἐπιστητὸν γένος τῆς ὑποβεβηκυίας Ἐπιστήμης εἴληπται ἀπὸ τῆς ἀνωτέρω καὶ ὑπερβεβηκυίας, οὐδὲν θαυμαστὸν, καὶ τὰς ἐν τῇ ὑποβεβηκυίᾳ Ἐπιστήμῃ ἀρχὰς, ἀπὸ τῆς αὐτῆς ὑπερβεβηκυίας εἰλῆφθαι, ὡς ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ παρόντος καὶ ἐννάτῳ παραδέδωκεν ὁ Φιλόσοφος. ὅθεν καὶ τὰ συναγόμενα ἐν τῇ ὑποβεβηκυίᾳ Ἐπιστήμῃ, καθ᾽ αὐτὸ προσήκειν τῇ ἀνωτέρῳ Ἐπιστήμῃ διδάσκει. πλὴν ἅτινά εἰσιν ἴδια τῇ ὑποβεβηκυίᾳ, διὰ τὴν προστεθεῖσαν διαφορὰν τῷ ἐπιστητῷ γένει. Ἐπεὶ μέντοι οὐ καθάπαξ ἐστὶ τὸ αὐτὸ ἐπιστητὸν γένος ἀμφοτέραις, ἀλλὰ τρόπον τινὰ τὸ αὐτὸ, ὡς ἐν τῷ ἑβδόμῳ εἴρηται κεφαλαίῳ, διάτοι τοῦτο κἀνταῦθα καὶ ἀνωτέρω ἐν τῷ ἐννάτῳ κεφαλαίῳ ἐλέγετο, ἐπὶ τῆς ὑποβεβηκυίας ἐπιστήμης, ἀποδείκνυσθαι τὸ ὅτι ἐστὶν, ἐπὶ δὲ τῆς ἀνωτέρω τὸ διότι ἐστί. τὰς γὰρ (1) αἰτίας τοῦ συναγομένου ἐν τῇ ὑποβεβηκυίᾳ, ἡ ἀνωτέρω ἔχει ἐπιστήμη· ἧς καὶ ἀρχαὶ εἰσὶν οἰκεῖαι.

Ὥς τε ἡ ἀνωτέρω Ἐπιστήμη καὶ ὑποβεβηκυῖα, πῶς μὲν εἰσὶ μία, πῶς δὲ δύο. ἡ γὰρ ἀνωτέρω γένους λόγον φαίνεται ἔχουσα, ἡ δὲ κατωτέρω, εἴδους πρὸς ἐκείνην. ὡς τὴν μὲν ἀνωτέρω πρὸς τὴν κατωτέρω ἔχειν, ὥσπερ ἡ περὶ ζώου φέρε εἰπεῖν Ἐπιστήμη πρὸς τὴν περὶ ἀνθρώπου. Οὐ μέντοι παντάπασιν ὡσαύτως ἔχουσιν. ἡ γὰρ περὶ εἴδους θεωρία, ἐπὶ τῆς αὐτῆς Ἐπιστήμης, προστίθησι τῷ ἐπιστητῷ γένει τῆς γενικωτέρας θεωρίας διαφορὰν οὐσιώδη, καὶ τοῦ αὐτοῦ ἐπιστητοῦ γένους. προστίθησι γὰρ φυσικὴν διαφορὰν, τῷ φυσικῷ ἐπιστητῷ γένει, καὶ γεωμετρικὴν τῷ γεωμετρικῷ. ἐπὶ δὲ τῶν ὑπαλλήλων ἣν ἡ ὑποβεβηκυῖα προστίθησι (2) διαφορὰν τῷ γένει τῆς ἀνωτέρω, ἐστὶ παντάπασι κατὰ συμβεβηκὸς, καὶ ἐκτὸς πάσης τῆς ἐκείνου περιοχῆς.

## Διαίρεσις τῶν Ἕξεων κατὰ τὸν Φιλόσοφον, καὶ τῶν μερῶν ἑκάστης ἀνάπτυξις.

Τῶν Ἕξεων ὁ Φιλόσοφος ἐν τῷ ἕκτῳ τῶν Νικομαχείων πλείους ἐκτίθησι διαφοράς. Ὑποθεὶς γὰρ τὴν διαφορὰν ἐκείνων εἰς τὰς ἀλη-



(1) Αἱ γὰρ ὑποβεβηκυῖαι ἐκ τῶν ὑστέρων ἐπιχειροῦσαι, ἀναχωροῦσιν ἐπὶ τὰς αἰτίας, αἱ δὲ ὑπερβεβηκυῖαι, τὸ ἀνάπαλιν. ὅθεν εἰκότως φησὶν εἶναι τὰς αἰτίας ἐν τῷ συναγομένῳ, ἤτοι συμπεράσματι τῶν ὑποβεβηκυιῶν. (2) Οἷα ἡ μουσικὴ τὴν φωνὴν τῇ ἀριθμητικῇ, ἥτις φωνὴ παντάπασιν ἀπόξενος τοῦ ἀριθμοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θετικὰς, καὶ μὴ ἀληθευτικάς· τὰς ἀληθευτικὰς Ἕξεις, δι' ὧν θηρώμεθα τ' ἀληθὲς ἐπὶ τῶν πραγμάτων, εἰς πέντε γενικώτερον διανέμει, Νοῦν, Σοφίαν, Ἐπιστήμην, Φρόνησιν, καὶ Τέχνην. Αὗται δὲ ὅτι περιέχουσιν ἁπλῶς πάσας τὰς ἐπικτήτους ἀνθρωποπρεπῶς ἕξεις, πρόδηλον. τῷ μὲν γὰρ τῆς Τέχνης ὀνόματι, πᾶσαι αἱ ποιητικαὶ ἕξεις δηλοῦνται, ὥσπερ καὶ τῇ προσηγορίᾳ τῆς Φρονήσεως, πᾶσαι περιέχονται αἱ ἠθικαὶ ἀρεταί. Ἡ δὲ Ἐπιστήμη, καὶ Σοφία τῆς αὐτῆς εἰσὶ κλάσεως. ἀμφότεραι γὰρ εἰσὶ θεωρητικαὶ ἕξεις. ὁ δὲ Νοῦς ἐν ἑαυτῷ μείων, τῆς θεωρητικῆς ἐστὶ τάξεως ἕξις, ἤπερ δύναμις. περὶ ὧν ἑκάστου ῥητέον ἐφεξῆς ὡς ἔνι συντετμημένως, εἰς κατάληψιν τῆς ἀπ' ἀλλήλων αὐτῶν διακρίσεως.

## ΠΕΡῚ ΤΟΥ͂ ΝΟΌΣ.

Παραιτησαμένοις τὰς διαφόρους σημασίας τοῦ νοός, παρὰ τοῖς φιλοσοφικοῖς εἴωθε λέγεσθαι Νοῦς, ἡ τῶν πρώτων ἀρχῶν ἀντιληπτικὴ ἕξις, ἥτις ἀμέσως προσήκει τῷ νοητικῷ τῆς ψυχῆς μορίῳ, καὶ πορίζεται ἀπὸ τῶν καθ' ἕκαστα, συνεργείᾳ τῶν αἰσθήσεων, ὡς ἐν τῷ τέλει τοῦ δευτέρου τῆς παρούσης πραγματείας ὁ Φιλόσοφος διδάσκει, οὗ μὴ προϋποκειμένου τῇ ἡμετέρᾳ ψυχῇ, οὐδενὸς δυνάμεθα τῶν ὄντων λαβεῖν Ἐπιστήμην. Καίτοι κατὰ τὸν Φιλόσοφον οὐ πάντη ἐστὶν ὁμολογούμενον, ἕξιν εἶναι τοῦτον ἐπίκτητον, ἀλλὰ μὴ μᾶλλον τὴν δύναμιν αὐτὴν τῆς ψυχῆς, καθ' ἣν ὁ ἄνθρωπος πέφυκε νοεῖν. δοκεῖ γὰρ αὕτη ἡ δύναμις καθ' ἑαυτὴν ἀποχρώντως ἔχειν, ἄνευ προσθήκης ἕξεως ἐπικτήτου, πρὸς ἀντίληψιν τῶν ἀρχῶν, δεξαμένη μόνα διὰ τῶν αἰσθήσεων τὰ φαντάσματα. Ὁπώσποτε μέντοι ἔχοι ἡ τοιαύτη δύναμις ἐν ἑαυτῇ μένουσα, ἐν ταῖς θεωρητικαῖς ἕξεσι τακτέα ἐστίν. ἀναφερομένη δὲ πρὸς τὰς μετ' αὐτὴν ἕξεις, διαιρεῖται εἰς θεωρητικὸν καὶ πρακτικὸν νοῦν, κατὰ τὴν διαίρεσιν τῶν ἀρχῶν, ὧν ἀντιληπτικὴ οὖσα διατελεῖ.

## ΠΕΡῚ ΣΟΦΊΑΣ.

Πολλὰ σημαίνεται διὰ τοῦ ὀνόματος τῆς Σοφίας, κυρίως δὲ ληφθέν, ἕξιν σημαίνει τῶν ὄντων, ᾗ ὄντα εἰσί, θεωρητικήν, διὰ τῶν ἀρχηγικωτάτων καὶ πρωτίστων αἰτιῶν, ταὐτὸ δ' εἰπεῖν τοῦ ὄντος, ᾗ ὄν ἐστι, κατὰ τὴν περιληπτικωτάτην αὐτοῦ σημασίαν.

Ταύ-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ταύτην δὲ ὁ Φιλόσοφος οὐ μόνον τὰ προσεχῶς συνηγμένα διὰ τῶν προτίστων ἀρχῶν, ἀλλὰ καὶ αὐτὰς τὰς ἀρχὰς θεωρεῖν φησι. κυριώτερον γὰρ καὶ πρὸ τῶν ἄλλων θεωρεῖ περὶ τῶν πρώτων αἰτιῶν τοῦ παντός, οἷον ἐστὶν ὁ Θεός, τὰ νοερὰ εἴδη, καὶ ὅσα ἄλλα προσεχῶς μετὰ τὸ πρῶτον ὄν.

Ταύτης τὰ ἴδια ἐκτίθεται ὁ Φιλόσοφος ἐν κεφαλαίῳ δευτέρῳ τοῦ πρώτου τῶν Μεταφυσικῶν. ἔνθα καὶ διαφόροις ἐπωνυμίαις ταύτην γεραίρει. οὐ γὰρ μόνον Σοφίαν, ἀλλὰ καὶ μεταφυσικὴν Ἐπιστήμην, καὶ πρώτην φιλοσοφίαν, καὶ Θεολογίαν τὴν αὐτὴν προσαγορεύεσθαι ἀξιοῖ.

## ΠΕΡῚ ἘΠΙΣΤΉΜΗΣ.

Ὁμοίως δὲ καὶ τῷ τῆς Ἐπιστήμης ὀνόματι ἐπὶ πλειόνων εἰώθασιν Ἕλληνες χρῆσθαι. ἰδιαίτερον δὲ ληφθέν, ἕξιν σημαίνει τὴν δι' ἀποδείξεως πορίζομένην. Εἰδικώτερον δ' ἔτι ἐκλαμβάνεται ἡ φωνὴ αὕτη, σημαίνουσα ἕξιν θεωρητικήν, ἥτις περὶ μέρος τι τοῦ ὄντος καταγίνεται, καὶ οὐ περὶ τὸ ὂν ἁπλῶς ἐννοούμενον. Κατὰ ταύτην δὲ τὴν θεωρίαν καὶ ἡ Μεταφυσική, ἕξις οὖσα δι' ἀποδείξεως πορίζομένη, ἀντιδιαστέλλεται τῆς Ἐπιστήμης, ὅτι περὶ τὸ ὂν ἁπλῶς καταγίνεται. ἡ δὲ Ἐπιστήμη εἰδικώτερον εἰλημμένη αὖθις, εἰς Γεωμετρίαν, Ἀριθμητικήν, Ἀστρολογίαν, καὶ ἄλλας.

## ΠΕΡῚ ΦΡΟΝΉΣΕΩΣ.

Σημαίνει δὲ καὶ ἡ Φρόνησις πολλά, ἰδίως δὲ ληφθεῖσα ἕξιν σημαίνει τὴν διὰ μακρᾶς θεωρίας, καὶ πείρας τῶν πραγμάτων, καὶ διαφόρων συμπτωμάτων ἐν βίῳ πορίζομένην. Συνάγεται δὲ ταύτης ὁ ὁρισικὸς λόγος ἀπὸ τοῦ Φιλοσόφου ἐν τῷ ἕκτῳ τῶν Νικομαχείων τοιοῦτος. ἡ Φρόνησις ἕξις ἐστὶ μετὰ λόγου ἀληθοῦς, διαπραττομένη πράττουσιν, ὅσα ἀνθρώπῳ εἰσὶν ἀγαθά. καὶ συνοπτικώτερον, ὅτι ἐστὶν ἕξις τῶν πρακτέων. Αὕτη δὲ καίτοι μία οὖσα τῷ ὑποκειμένῳ, καὶ ὁλοσχερής, τῷ λόγῳ μέντοι τριχῇ διαιρεῖται. Ἢ γὰρ τὰ ἑκάστῳ πρακτέα διορίζεται. Ἢ τὰ τῷ οἰκοδεσπότῃ, Ἢ γοῦν τὰ πάσῃ τῇ πόλει ἀγαθά, καὶ τοῖς Ἡγεμόσι πρακτέα. ὅθεν καὶ φρόνησις ἠθική, ἢ οἰκονομική, ἢ γοῦν πολιτικὴ προσαγορεύεσθαι εἴωθε. Περιέχει δὲ ὑφ' ἑαυτὴν συλλαβοῦσα, πάσας τὰς ἠθικὰς ἀρετάς.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Φρόνησις.
- Ἢ γὰρ τὰ πρακτέα ἑκάστῳ διορίζεται.
- Ἢ τὰ τοῦ οἰκοδεσπότῃ.
- Ἢ τὰ τῇ πόλει καὶ τοῖς Ἡγεμόσι.

Φρόνησις.
- Ἠθική.
- Οἰκονομική.
- Πολιτική.

## ΠΕΡΙ ΤΕΧΝΗΣ.

Ὥσπερ τῇ ἀξίᾳ ἐν ταῖς διανοητικαῖς ἕξεσιν ἡ Τέχνη ἐστὶν ἐσχάτη, οὕτω τῇ ἀναγκαιότητι καὶ εὑρέσει τυγχάνει πρώτη. Αὕτη ἰδίως λαμβανομένη, εἴωθεν ὑπογράφεσθαι, ὅτι ἐστὶ σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. κατὰ δὲ τὸν Φιλόσοφον εἴποις ἄν, Τέχνη ἐστὶν ἕξις, μετὰ ὀρθοῦ λόγου, κανόνας ἡμῖν παραδιδοῦσα, εἰς ἀπεργασίαν τινὸς ἀσφαλεῖς. Διαιρεῖται δὲ πλεοναχῶς, καὶ πρῶτον εἰς τὰς ἀρχιτεκτονικὰς καὶ ὀργανικὰς, καὶ ἐφεξῆς εἰς ἄλλας, περὶ ὧν οὐκ ἔστι τὰ νῦν μακρηγορεῖν. εἴρηται γὰρ πλατύτερον περὶ τούτων ἐν τοῖς προλεγομένοις, καὶ τῷ βουλομένῳ ἔξεστιν ἀναλέξασθαι περὶ τούτων ἀποχρώντως ἐν τοῖς λεγομένοις τῷ Φιλοσόφῳ περί τε ἠθικῶν, καὶ ἄλλων.

## Τίς ἂν εἴη ἀκριβεστέρα Ἐπιστήμη, καὶ προτέρα.

Τρεῖς τινὰς κανόνας παραδίδωσιν ἡμῖν ὁ Φιλόσοφος ἐν κεφαλαίῳ κγ΄. δι᾽ ὧν διαγνῶναι ἔχομεν τὴν ἀκριβεστέραν, καὶ μὴ (1) τοιαύτην Ἐπιστήμην.

Πρῶτος ἐστὶν ὅτι ἡ Ἐπιστήμη ἐφ᾽ ἧς τὸ διότι ἅμα καὶ τὸ ὅτι ἔχομεν, ἀκριβεστέρα ἐστὶν ἐκείνης, ἐν ᾗ μόνον τὸ ὅτι γινώσκεται. Ὁ κανὼν οὗτος χώραν ἔχει ἐν ταῖς ὑπαλλήλοις ἐπιστήμαις, ὡς ἀνωτέρω εἴρηται.

Ὁ δεύτερος κανὼν εἴληπται ἀπὸ τοῦ ἐπιστητοῦ γένους. ὅσῳ γὰρ μᾶλ-

λον

(1) Καὶ μὴ ἀκριβεστέραν δηλαδή.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λον κεχώρισαι τῆς ὕλης τὸ ἐπιστητὸν γένος, τοσούτῳ μᾶλλον ἡ περὶ αὐτὸ Ἐπιστήμη ἀκριβεστέρα ἐστί. πᾶσα γὰρ ἀοριστία, καὶ ἀσάφεια ἀπὸ τῆς ὕλης προέρχεται. Διατοῦτο Ἀριθμητικὴ κρείττων καὶ ἀκριβεστέρα ἁρμονικῆς. ἡ μὲν γὰρ αὐτοὺς καθ' αὑτοὺς ἐπισκέπτεται τοὺς λόγους τῶν ἀριθμῶν. Ἡ δὲ τοὺς ἐν ταῖς χορδαῖς. καὶ Γεωμετρία Ὀπτικῆς ἀκριβεστέρα, ὅτι ἡ μὲν, τὰ συμβαίνοντα αὐτοῖς καθ' αὑτοῖς τοῖς σχήμασι καὶ ταῖς γραμμαῖς, ἄνευ πάσης ὕλης ἐπισκοπεῖ, ὀπτικὴ δὲ, τὰ συμβαίνοντα ταῖς ὄψεσι, πῶς δὲ σχηματιζομέναις.

Τρίτον προστίθησι κανόνα ὁ Φιλόσοφος δι' οὗ διδάσκει τὴν περὶ τῶν ἁπλουστέρων Ἐπιστήμην, ἀκριβεστέραν εἶναι, τῆς περὶ τῶν συνθετωτέρων, ὡς ἡ Ἀριθμητικὴ τῆς Γεωμετρίας. ὁ γὰρ ἀριθμὸς, ἁπλούστερος τοῦ μεγέθους ἐστί. Τὸ δὲ ἀξιολογώτερον, καὶ ἐντιμότερον ταῖς ἐπιστήμαις, ἐρανίζεται ἀπὸ τοῦ ἐπιστητοῦ γένους. ὅθεν ἡ Μεταφυσικὴ περὶ τὰς χωριστὰς, καὶ νοερὰς οὐσίας καταγινομένη, ἀξιολογωτέρα ἐστὶ τῶν ἄλλων, καὶ ἐντιμοτέρα.

## ΠΕΡῚ ΔΌΞΗΣ.

Τούτων οὕτως εἰρημένων περὶ τῶν ἀληθευτικῶν ἕξεων, ἐχομένως ῥητέον καὶ περὶ τῶν μὴ παντάπασιν ἀληθευτικῶν ἕξεων. περὶ ὧν ὁ Φιλόσοφος ἐν τῷ τέλει τῆς προκειμένης βίβλου διαλαμβάνει. Τούτου δὲ τοῦ γένους εἰσὶ, Δόξα, Πίστις, καὶ εἴτις ἄλλη. Ὁ δὲ Φιλόσοφος ἔτι καὶ περὶ ἀγχινοίας παραδίδωσι, περὶ ὧν καὶ ἡμῖν ἐφεξῆς ῥητέον, ὡς ἔνι διὰ βραχέων. Ἡ τοίνυν Δόξα κυρίως λαμβανομένη, ὑπόληψίς ἐστι τοῦ δυναμένου καὶ ἄλλως ἔχειν, ἢ δι' αὐτὸ τὸ δοξαζόμενον, ἢ διὰ τὸ μέσον, δι' οὗ ἡ δόξα ἐγγίνεται, ἢ διὰ τὴν ἡμετέραν περὶ τοῦ πράγματος σύνεσιν καὶ γνῶσιν. ὥστε ἡ δόξα ἀναγκαίως ἐστὶν ἐλλειπὴς καὶ ἀτελὴς ἐπιστήμη. Τοιγαροῦν ὥσπερ εἰς γένεσιν τῆς τελειοτάτης ἐπιστήμης, τρία ἐξ ἀνάγκης ζητεῖται, πρῶτον αὐτὸ τοῦτο ὃ ἐπιστάμεθα ἀναγκαῖον εἶναι, τουτέστι τὸ κατηγορούμενον ἀναγκαίως ἐνυπάρχειν τῷ ὑποκειμένῳ. δεύτερον ἐστὶν εἰδέναι ἡμᾶς τοῦτο διὰ τῆς αὐτῆς αἰτίας. καὶ τρίτον μὴ ἀγνοεῖν ὡς ἡ τοιαύτη αἰτία οἰκεία τούτου ἐστὶ, καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν.

Τὸν αὐτὸν τρόπον ἡ Δόξα, ἥτις ἐστὶν ἐπισφαλὴς Ἐπιστήμη, καὶ ἀτελὴς ἢ κατά τι τούτων, ἢ ἐν πλείοσιν ἐλλείπει. Ἐκ δὲ τῶν εἰρημένων δῆλον γίνεται, ὅτι εἷς καὶ ὁ αὐτὸς ἐπιστήμων, οὐ δύναται ἅμα περὶ τοῦ αὐτοῦ κατὰ τὰ αὐτὰ, καὶ δόξαν ἔχειν καὶ Ἐπιστήμην, πλείους μέντοι ἐνδέχεται,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ται, δι᾽ ἄλλου, ϗ ἄλλου, ἢ ϗ τοῦ αὐτοῦ μέσου, Δόξαν ϗ Ἐπιστήμην περὶ τοῦ αὐτοῦ ἔχειν.

Τῆς δὲ Δόξης ἐνδέχεται τὴν μὲν ἀληθῆ εἶναι, τὴν δὲ ψευδῆ, καίτοι γε οὐδὲ ἀληθὴς οὖσα, Ἐπιστήμη ἐστὶ διὰ τὰ εἰρημένα. ἔστι γὰρ ἐξ οἰκείας οὐσίας ἡ Δόξα, ὑπόληψις ὡς εἴρηται ἐπισφαλής. Διαιροῦσι τινὲς τὴν Δόξαν, ϗ ἄλλως, εἰς ἐπωφελῆ, ϗ ἐπιβλαβῆ, ϗ οὐδετέρως ἔχουσαν. ἀλλ᾽ ἡ διαίρεσις αὕτη, ἀπὸ τοῦ δοξάζοντος μᾶλλον, ἢ ἀπὸ τῆς δόξης εἴληπται.

## ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

ΠΑραλιπόντες τὴν Πίστιν, ἥτις ὑπὲρ φύσιν τοῖς ἐκκλησιαστικοῖς εἶναι λέγεται, ϗ τὴν παρὰ τοῖς ἠθικοῖς στερρότητα ἀνδρὸς βεβηκότος ϗ ἀσφαλοῦς σημαίνουσαν, ἡ ἐνταῦθα θεωρουμένη τῷ Φιλοσόφῳ τῇ δόξῃ συμπίπτει, ὡς μὴ (1) ἄλλως διενηνοχέναι ἀλλήλων, ἢ μόνῳ τῷ λόγῳ. ὡς γὰρ ἐν τῷ δευτέρῳ τῶν περὶ Ψυχῆς ἐδαφίῳ ρις΄. λέγεται, τοιαύτη ἀπαιτεῖται τάξις εἰς γένεσιν δόξης καὶ πίστεως. Πρῶτον φησὶ δίδοται λόγος, τούτῳ δὲ ἕπεται πειθώ, τῇ δὲ πεισμονῇ πίστις, τῇ δὲ πίστει δόξα. δοξάζομεν γὰρ ὅτι πιστεύομεν. πιστεύομεν δὲ ὅτι πεπείσμεθα, πειθόμεθα δὲ διὰ τὸν λόγον. Ὁ δὲ τοιοῦτος λόγος, εἰ μὲν πάντα τύχῃ ἔχων τὰ εἰς Ἐπιστήμην ζητούμενα, οὔτε πίστιν ποιεῖ, οὔτε δόξαν, ἀλλ᾽ Ἐπιστήμην. εἰ δὲ ἐλλείπει κατάτι ὡς εἴρηται, τηνικαῦτα εἰμήτι ἄλλο κωλύει, πίστιν ἐμποιεῖ, ϗ δόξαν ταῖς ψυχαῖς τῶν ἀκροωμένων.

## ΠΕΡΙ ΑΓΧΙΝΟΙΑΣ.

Ἡ Ἀγχίνοια καίτοι μὴ ἕξις οὖσα ἐπίκτητος, ἐπεὶ μέντοι ἀναλόγως πως ἔχει πρὸς Ἐπιστήμην, αἰτίας οὖσα γνῶσις ϗ αὐτή, διά τοι τοῦτο ὑπὸ τοῦ Φιλοσόφου ἐκτίθεται ἐνταῦθα, ϗ συντόμως παραδίδοται. Ἔστι δὲ Ἀγχίνοια, δύναμίς τις, εἴτουν ἐπιτηδειότης ἔμφυτος τοῦ μέσου ἐν ἀσκέπτῳ χρόνῳ στοχαστική. Ὅσοι δὲ ὀξέως οὕτω καὶ προχείρως τοῦ μέσου καταστοχάζονται, ἀγχίνους ἤκουσαν. ὡς εἴτις ἐρωτηθεὶς, διατί ἡ Σελήνη τὸ πρὸς Ἥλιον ἀεὶ ἐλλαμπομένη φαίνεται μέρος, ἐννοήσῃ ἀσκέπτως, ὅτι ἀπὸ τοῦ Ἡλίου τὴν ἔλλαμψιν δέχεται. ἢ τὸ αἴτιον τῶν διαφόρων φωτισμῶν τῆς αὐτῆς ἐρωτώμενος, προχείρως φαίη ὅτι ἐστὶ σφαιροειδής. Ἡ πραγ-

(1) Πίστις ἐστὶν ὑπόληψις διὰ λόγου πειθὼ ἔχοντος.

**Ἡ πραγματεία τῶν ὑστέρων Ἀναλυτικῶν εἰς βιβλία δύο.**

- Πρῶτον, ἐν ᾧ ὁ Φιλόσοφος διαλαμβάνει περὶ τῶν ἀρχῶν τῆς ἀποδείξεως, καὶ ἰδιωμάτων τῆς αὐτῆς, ἀλλὰ δὴ καὶ ἀντικειμένων, καὶ ὅπως ποτὲ ἄλλως διακρινομένων ἀπὸ τὴν ἀπόδειξιν.
- Δεύτερον, ἐν ᾧ περὶ ὁρισμοῦ σκέπτεται, ὃ πέφυκε γίγνεσθαι μέσον τῆς ἀποδείξεως.

**Τρισὶ τρόποις συνιστᾷ τὰς ἀξιωματικὰς ἀρχὰς ὁ Φιλόσοφος.**

- Ἢ τῇ ἀναπτύξει τῶν ὅρων.
- Ἢ ἐκ τῆς κοινῆς ὑπολήψεως.
- Ἢ δι' ἐπαγωγῆς ἀπὸ τῶν καθ' ἕκαστα.

**Τρία τὰ προγινωσκόμενα περὶ τοῦ συναγομένου δι' ἀποδείξεως.**

- Τὸ ζητούμενον, ὅπερ ἐστὶ τὸ κατηγορούμενον τοῦ προβλήματος, καὶ λέγεται πάθος.
- Τὸ διδόμενον, ὅπερ ἐστὶ τὸ ὑποκείμενον τοῦ προβλήματος.
- Καὶ ὁ μέσος ὅρος ἥπερ συνάπτεται τούτοις, ἐν τρόπῳ αἱ ἀρχαὶ ἀποτελοῦνται.

**Τὸ δεύτερον κεφάλαιον τῶν ὑστέρων εἰς τρία.**

- Πρῶτον, ἐν ᾧ ὁ ὁρισμὸς τοῦ ἐπίστασθαι, ἤτοι τῆς Ἐπιστήμης περιέχεται.
- Δεύτερον, ἐν ᾧ ὁ ὁρισμὸς τῆς ἀποδείξεως, καὶ τὰ συστατικὰ τῶν κατ' ἐκείνην ἀρχῶν.
- Τρίτον, ἐν ᾧ τὰ γένη ἀπαριθμεῖται τῶν ἀρχῶν τῆς ἀποδείξεως ὁ Φιλόσοφος.

**Διαφοραὶ τῶν ἀρχῶν τῆς ἀποδείξεως, πέντε.**

- Τὸ ἀληθεῖς εἶναι.
  - Τὸ πρώτας εἶναι.
  - Τὸ γνωριμωτέρας εἶναι τοῦ συμπεράσματος.
  - Τὸ προτέρας εἶναι τοῦ αὐτοῦ.
- Τὸ αἰτίας εἶναι τοῦ αὐτοῦ καὶ οἰκείας.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

- Τὸ πρότερον καὶ γνωριμώτερον διχῶς.
  - Κατὰ φύσιν,
  - Καὶ καθ' ἡμᾶς.
- Τῆς ἀποδεικτικῆς ἀρχῆς,
  - Τὸ μὲν ἀξίωμα·
  - Τὸ δὲ θέσις. καὶ ταύτης.
    - Τὸ μὲν ὑπόθεσις,
    - Τὸ δὲ ὁρισμός.
- Τὸ κατὰ τὰς ἀρχὰς ἀναγκαῖον τριχῶς.
  - Κατὰ παντὸς καὶ ἀχωρίστως·
  - Καθ' αὑτό, καὶ τούτου τρόποι τέσσαρες.
    - Πρῶτος, καθ' ὃν παραδίδωσιν ὁ Φιλόσοφος ἐκεῖνα λέγεσθαι καθ' αὑτὰ ὅσα ὑπάρχει ἐν τῷ τί ἐστι τοῦ ὑποκειμένου.
    - Δεύτερος, καθ' ὃν φησὶ κατηγορεῖσθαι, ὧν ἐν τῷ λόγῳ ὑπάρχουσι τὰ ἐν οἷς αὐτὰ ὑπάρχει.
    - Τρίτος, καθ' ὃν φησὶ καθ' αὑτὸ λέγεσθαι, ὅσα μὴ ἐνυπάρχοντα ἄλλοις, εἰσὶ τόδε τι.
    - Τέταρτος, καθ' ὃν σημαίνεται ἡ συνάφεια τῆς αἰτίας πρὸς τὸ οἰκεῖον ἀποτέλεσμα.
  - Καὶ καθόλου.
    - Κατὰ παντὸς καὶ ἀχωρίστως.
    - Καθ' αὑτό.
    - Καὶ ᾗ αὐτό.
- Ἡ τοῦ Ὅτι ἀπόδειξις διχῶς.
  - Ἡ μὲν κέχρηται τῷ αἰτιατῷ ὡς μέσῳ εἰς δεῖξιν τῆς αἰτίας.
  - Ἡ δὲ διὰ τῆς πόρρω αἰτίας καὶ μὴ προσεχοῦς εἰς δεῖξιν προβαίνει τοῦ αἰτιατοῦ.

ΕΙΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΕἸΣ ΤῸ ΔΕΎΤΕΡΟΝ

## Τῶν ὑςέρων

# ἈΝΑΛΥΤΙΚΩ͂Ν.

ἜΝ τῷ δευτέρῳ τῶν ὑςέρων Ἀναλυτικῶν λόγῳ, ὅτι περὶ τοῦ μέσου τῆς ἀποδείξεως ἡ σκέψις γίνεται τῷ Φιλοσόφῳ, εἴρηται ἐν ἀρχῇ τοῦ πρώτου. τὸ δὲ μέσον τῆς ἀποδείξεως ὡς τὰ πολλὰ ὁ ὁρισμός ἐςὶ τοῦ ὑποκειμένου. διὸ καὶ περὶ ὁρισμοῦ ἡμῖν ὀλίγ᾽ ἄττα ῥητέον, παραλιπόντας ἔστι ἄλλα ἐν τῷ αὐτῷ λέγεται.

## Περὶ Ὁρισμοῦ, τί ἐςὶ, καὶ ὁσαχῶς συμβαίνει γίγνεσθαι.

Ὁ Ὁρισμὸς ἔσθ᾽ ὅτε πλατύτερον λαμβανόμενος, καὶ τὸ ὁριςὸν περιέχει, καὶ λέγεται λόγος δηλωτικὸς τῆς τοῦ ὁριζομένου φύσεως. Ἰδιαίτερον μέντοι λαμβανόμενος, καθὸ καὶ τοῦ ὁριςοῦ κεχώρισται, θέσις εἶναι λέγεται, δηλωτικὴ τοῦ ὁριςοῦ πράγματος, ὡς ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ προληφθέντος βιβλίου, καὶ ἐν τῷ δεκάτῳ ὁμοίως τοῦ αὐτοῦ παραδίδωσιν ὁ Φιλόσοφος. Τῶν δὲ ὁρισμῶν, οἱ μὲν τοῦ ὀνόματος εἰσὶν, οἳ καὶ ὀνοματώδεις λέγονται, οἱ δὲ τοῦ πράγματος. Καὶ ὀνοματώδεις μὲν εἰσὶν, οἱ δηλοῦντες τί τοὔνομα σημαίνει, οἵπερ καὶ ἐτυμολογίαι λέγονται, ὡς εἰ μεγαλόψυχός τις ῥηθείη, ὁ ἔχων μεγάλην ψυχήν. Τῶν δὲ ὁρισμῶν τοῦ πράγματος, οἱ μὲν εἰσὶ τῆς οὐσίας, οἱ δὲ τῶν συμβεβηκότων. καὶ τῆς οὐσίας, ἢ οὐσιώδεις εἰσὶν ὁρισμοὶ, ἢ ἐπουσιώδεις. τούτων, οἱ τοῦ δευτέρου γένους ὑπογραφαὶ ἰδιαίτερον λέγονται, οἵτινες συνίςασθαι εἰώθασιν, ἢ ἐκ γένους προσεχοῦς, καὶ συμβεβηκότος ἰδίου, ἢ ἔκ τινος χώραν ἔχοντος γένους, καὶ συμβεβηκότος, ἢ ἰδίου, ἢ συνδρομῆς τῶν κοινῶν συμβεβηκότων. ὡς εἴ τις φαίη, ἄνθρωπος ἐςὶ ζῶον, ὀρθοπεριπατητικὸν, καὶ τὰ ἑξῆς.

Ὁ δὲ οὐσιώδης Ὁρισμὸς τῶν οὐσιῶν, διχῶς ἔτι διαιρεῖται. ἢ γὰρ ἐξ ὕλης καὶ εἴδους συνέςηκεν, ὡς παρὰ Φυσικοῖς, ἄνθρωπος λέγεται σῶμα ὀργανικὸν λογικῇ ψυχῇ εἰδοπεποιημένον. Ἢ ἐκ γένους προσεχοῦς, καὶ διαφορᾶς οὐσιώδους συνέςηκεν, ὡς παρὰ τοῖς Λογικοῖς, καὶ μεταφυ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στικοῖς, ὁ ἄνθρωπος λέγεται, ζῶον, λογικὸν, θνητὸν, νοῦ, καὶ ἐπιστήμης δεκτικόν. Καὶ τῶν συμβεβηκότων δὲ οἱ ὁρισμοὶ οὐχ ἁπλῶς λέγονται. ἢ γὰρ ὑπογραφικοί εἰσιν, οἵτινες συντίθενται τὸν εἰρημένον τρόπον ἀνωτέρω περὶ τῆς ὑπογραφῆς τῶν οὐσιῶν. ἢ οὐσιώδης ἐστὶ τοῦ συμβεβηκότος ὁ Ὁρισμὸς, ὅς τις καὶ ἐκ γένους προσεχοῦς τοῦ συμβεβηκότος, καὶ διαφορᾶς οἰκείας συνέστηκεν, οἷον τὸ λευκὸν ἐστὶ χρῶμα διακριτικὸν ὄψεως. ὁ χυμὸς ἐστὶ ποιότης ἐπιβλητικὴ τῆς γεύσεως, καὶ τὰ ὅμοια.

Οἱ (1) τοιοῦτοι τοιγαροῦν Ὁρισμοὶ καὶ ἐν τῷ τί ἐστι τῶν συμβεβηκότων κατηγορεῖσθαι λέγονται. ἐὰν δὲ Ὁρισμὸς τύχῃ ὢν συμβεβηκότος ἰδίου, τριχῶς διαιρεῖται. Ἢ γὰρ αἰτιώδης ἐστὶν, ὅς τυγχάνει δηλωτικὸς τῆς αἰτίας τοῦ ὁριζομένου συμβεβηκότος. οἷον ἡ ἔκλειψις ἐστὶ παρέμπτωσις τῆς γῆς μεταξὺ Ἡλίου καὶ Σελήνης, καὶ ἡ βροντὴ σβέσις πυρὸς ἐν ὕδατι. Ἢ ὑλικός ἐστιν ὁ Ὁρισμὸς τοῦ αὐτοῦ, ὅς τις ἐκ γένους ἰδίου τοῦ συμβεβηκότος, καὶ τοῦ ὑποκειμένου συνίσταται. οἷον θυμὸς ἐστὶ ζέσις τοῦ περικαρδίου αἵματος. Ἀπόδειξις ἐστὶ συλλογισμὸς συνεστηκὼς ἐξ ἀληθῶν, πρώτων καὶ ἀμέσων, καὶ τὰ ἑξῆς. Οὗτοι δὲ ἢ κατὰ ἀφαίρεσιν ἀποδίδονται, καὶ τηνικαῦτα τίθεται τὸ ὑποκείμενον ἐν πτώσει πλαγίᾳ. οἷον ἡ σιμότης ἐστὶ κοιλότης ῥινὸς, ἢ ἐν ῥινί. Ἢ κατὰ τὸ συγκεκριμένον ἀποδίδοται, ἡνίκα τὸ ὑποκείμενον τοῦ συμβεβηκότος τίθεται ἐν ὀρθῇ πτώσει. οἷον τὸ σιμὸν ἐστὶ ῥὶς κοίλη.

Τρίτον ὁ Ὁρισμὸς τοῦ συμβεβηκότος συνίσταται ἐξ ἀμφοῖν ἅμα, τοῦ τε αἰτιώδους ὁρισμοῦ, καὶ τοῦ ὑλικοῦ. οἷον θυμὸς ἐστὶ ζέσις τοῦ περικαρδίου αἵματος, δι' ὄρεξιν ἀντιλυπήσεως. καὶ βροντὴ ἐστὶ ψόφος πυρὸς σβεννυμένου ἐν ὕδατι. Τὸν τριττὸν τοῦτον τρόπον τοῦ ὁρίζεσθαι παραδίδωσιν ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος, κεφαλαίῳ δεκάτῳ, καὶ φησὶ, τὸν οὐσιώδη Ὁρισμὸν τῶν οὐσιῶν, καὶ τὸν αἰτιώδη τῶν συμβεβηκότων, θέσιν εἶναι ἀναπόδεικτον, τουτέστι δηλωτικὴν τοῦ τί ἐστι τὸ πρᾶγμα. Τὸν δὲ ὑλικὸν Ὁρισμὸν συμπεραίνεσθαι διὰ τῆς ἀποδείξεως. τὸν δὲ τρίτον, ὃς ἐξ ἀμφοῖν συνίσταται, συλλογισμὸν εἶναι φησὶ, τὸ τί ἐστι δεικνύοντα, (2) πτώσει μόνῃ τῆς ἀποδείξεως διαφέροντα.

Περὶ

(1) Οἱ οὐσιώδεις ὁρισμοὶ τῶν συμβεβηκότων ὡς οὐσιῶν ἐν τῷ τί ἐστι κατηγοροῦνται ὡς δηλωτικοὶ τῆς φύσεως τούτων. Οἱ δὲ ἐπουσιώδεις ἐν τῷ ὁποῖόν τί ἐστι ὡς δηλωτικοὶ τῶν περὶ ἕκαστα. (2) Ἤγουν θέσει διαφέροντα. ἐν μὲν γὰρ τῇ ἀποδείξει προκεῖται τὸ αἴτιον, εἶτ' ἐπάγεται τὸ αἰτιατόν. οἷον ὁ θυμούμενος, ὀρέγεται ἀντιλυπῆσαι, τῷ ὀρεγομένῳ ἀντιλυπῆσαι ζέει τὸ περὶ καρδίαν αἷμα. τῷ θυμουμένῳ ἄρα ζέει τὸ περὶ καρδίαν αἷμα. ἐν δὲ τῷ ὁρισμῷ τοὔμπαλιν, θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. ἡ γὰρ ὄρεξις τῆς ἀντιλυπήσεως αἴτιον τῆς ζέσεως.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

- Ὁρισμός.
  - Ὀνόματος,
  - Πράγματος.
    - Ἢ τῆς οὐσίας,
      - Ἢ οὐσιώδης,
        - Ἐξ ὕλης καὶ εἴδους, ὃς καὶ φυσικός:
        - Ἐκ γένους προσεχοῦς, καὶ διαφορᾶς οὐσιώδους λογικός, καὶ μεταφυσικός.
      - Ἢ ἐπουσιώδης, ὃς καὶ ὑπογραφικὸς λέγεται.
    - Ἢ τοῦ συμβεβηκότος.
      - Ἐπουσιώδης οἷος ἐςὶ καὶ ὁ ἐκ τῶν ὁμοίων, ἢ ἐκ τῶν ἐναντίων λαμβανόμενος.
      - Ἢ οὐσιώδης.
        - Τοῦ τί ἐςι δηλωτικός, ὁ ἐκ γένους καὶ διαφορᾶς λαμβανόμενος:
        - Ἢ αἰτιώδης, ὃς ἐξ αἰτίας συνίσταται.
        - Ἢ ὑλικὸς ἐκ γένους καὶ ὑποκειμένου
          - Ἢ ἐξ ἰδίου ὑποκειμένου,
            - Ἢ ἐξ ἀφαιρέσεως.
            - Ἢ κατὰ τὸ συγκείμενον.
          - Ἢ ἐκ μὴ ἰδίου.
        - Ἢ σύνθετος ἐκ τοῦ αἰτιώδους, καὶ ὑλικοῦ, ὃς θέσει μόνη τῆς ὑποδείξεως διαφέρει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Παγ. 485.

Ποσαχῶς ὁ Ὁρισμὸς διαιρεῖται.

- Ὀνόματος,
- Πράγματος,
- Οὐσίας,
- Συμβεβηκότος,
- Οὐσιώδης,
- Ἐξ ὕλης καὶ εἴδους,
- Ἐκ γένους καὶ Διαφορᾶς
- Τοῦ πέρι διχωτικὸς.
- Αἰτιώδης,
- Ὑλικὸς,
- Σύνθετος,
- Ἐξ ἰδίου ὑποκειμένου,
- Ἐκ μὴ ἰδίου,
- Ἐξ ἀφαιρέσεως,
- Κατὰ τὸ συγκεκριμένον

## Περὶ τοῦ γινομένου αἰτίου μέσου ἐν ταῖς ἀποδείξεσιν.

Ἐπὶ τῆς κυριωτάτης ἀποδείξεως, ἀεὶ τὸ οἰκεῖον καὶ προσεχὲς αἴτιον τοῦ μείζονος ἄκρου, ( ἤτοι τοῦ πάθους, εἴτουν ὁ αἰτιώδης ὁρισμὸς τοῦ αὐτοῦ ) μέσον γίνεται, εἴτε τῆς οὐσίας τυγχάνει ὢν τοῦ ὑποκειμένου, τουτέστιν ἐνδογενὲς, εἴτ᾽ οὖν ἔξωθεν προσγινόμενον, ὡς ἐπὶ τῆς ἐκλείψεως ἡ παρέμπτωσις τῆς γῆς. τοῦτο δὲ διατάττεται ὁ Φιλόσοφος, καὶ δείκνυσιν ἐπὶ τοῦ παρόντος, ἐν κεφαλαίῳ δεκάτῳ τετάρτῳ. Τὸ τοιοῦτον δὲ (1) αἴτιον ἐνδέχεται εἶναι τῶν τεττάρων αἰτιῶν ἕν. ἐπὶ μὲν τῶν φυσι-

(1.) Ἤτοι τὸ γινόμενον μέσον τῆς ἀποδείξεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φυσικῶν ἐπὶ πάντα τὰ γένη τῆς αἰτίας ἀναφερόμενον, ὡς τὰ πολλὰ δὲ τὸ ὑλικὸν καὶ εἰδικὸν αἴτιον, γίνεται μέσον ἐν ταῖς ἀποδείξεσιν. ἐπὶ δὲ τῶν μαθηματικῶν μόνον τὸ εἰδικόν. γίνεται δὲ ἐν χρήσει (1) τοιαύτη καὶ τὰ λοιπὰ δύο, ἐφ᾽ ὧν τὰ οἰκεῖα αὐτῶν ἀποτελέσματα ζητεῖται.

## Τίνα τρόπον θηρᾶσθαι πεφύκασιν οἱ Ὁρισμοὶ τῶν ὄντων.

Διττὴ μέθοδος ἐνταῦθα προτίθεται τῷ Φιλοσόφῳ εἰς ζήτησιν, καὶ λῆψιν τῶν Ὁρισμῶν ἐν κεφαλαίῳ δεκάτῳ τρίτῳ. ἡ μὲν διαιρετική, ἡ δὲ συνθετική. καὶ διαιρετικὴ μέν ἐστιν ἡ διαιροῦσα τὸ ἀνώτατον γένος τοῦ ὁριζομένου πράγματος, μέχρι τῆς ἐσχάτης καὶ ἀντιστρόφου διαφορᾶς ἐκείνου, ἢ ἐκ τῆς συλλογῆς πάντων τῶν ἀνωτέρω κατηγορημάτων αὐτοῦ, καὶ τῆς ἐσχάτης καὶ ἀντιστρόφου διαφορᾶς συντίθησι τὸν ὁρισμὸν ὅλον. παραδείγματι τὸ λεγόμενον γίνεται προφανές. Κείσθω ζητούμενος ὁ τοῦ ἀνθρώπου Ὁρισμὸς μεθόδῳ διαιρετικῇ. πρὸ δὴ τῶν ἄλλων ληπτέον ἐστὶ τὸ κυριώτατον τοῦ ἀνθρώπου γένος, φέρ᾽ εἰπεῖν ἡ οὐσία, ἢ τὸ σῶμα. καὶ τοῦτο διαιρετέον ταῖς ἀντικειμέναις διαφοραῖς τῷ ἐμψύχῳ δηλαδή, καὶ ἀψύχῳ. ὧν τὸ μὲν οἰκεῖον ἀεὶ προσλαμβάνοντες, τὸ δὲ ἀλλότριον ἀποβάλλοντες, μέχρι τῆς ἐσχάτης διαφορᾶς τῆς ἀντιστρεφούσης τῷ ἀνθρώπῳ, συντιθέμεθα ἐκ τούτου τὸν Ὁρισμὸν ὅλον τοῦ ἀνθρώπου ὡδί. ὁ ἄνθρωπος ἐστὶ σῶμα ἔμψυχον αἰσθητικὸν λογικόν. Ἐπεὶ δὲ πάντα τὰ ἀνωτέρω περιέχεται ἐν τῷ προσεχεῖ γένει, διὰ τοῦτο ὡς τὰ πολλὰ ἐκ τοῦ προσεχοῦς γένους, καὶ τῆς ἐσχάτης διαφορᾶς, σύγκειται ὁ ὁρισμός. οἷον ὁ ἄνθρωπος ἐστὶ ζῶον λογικόν. Συνθετικὴ δέ ἐστιν ἡ ἐκ τῆς συναγωγῆς τῶν οὐσιωδῶς κατηγορουμένων κατὰ πάντων τῶν ὑπὸ τὸ ὁριζόμενον ἀποτελοῦσα τὸν ὁρισμὸν ἐκείνου. Εἰς παράδειγμα ταύτης κείσθω ζητούμενον ὁ ὁρισμὸς τοῦ ἵππου. Πρῶτον τοιγαροῦν ληπτέον τὰ τοῖς καθ᾽ ἕκαστα ἵπποις προσήκοντα. οἷον τὸ εἶναι σῶμα ἕκαστον τούτων ἔμψυχον αἰσθητικόν, χερσαῖον, τετράπουν. ἅπερ εἰ καὶ ἄλλοις παρὰ τοὺς ἵππους προσήκει, ζητητέα ἐστὶ τίς διαφορὰ μόνοις τοῖς ἵπποις προσήκουσα, οἷον τὸ χρεμετιστικόν, ἐξ ὧν συνάγεται ὁ ὁρισμὸς τοῦ ἵππου. Κἂν τύχῃ ὂν εἶδος ὑπάλληλον τὸ ὁριζόμενον, συναγαγόντες πάντα τὰ προσήκοντα τοῖς ὑπ᾽ ἐκεῖνο εἴδεσιν, ἀποβάλλομεν τὰ ἴδια ἑκάστῳ, καὶ ἐκ τῶν λειπομένων ἅττ᾽ ἐστὶ κοινὰ πᾶσι τοῖς εἴδεσιν, ἀπαρτίζομεν τὸν ὁρισμὸν τοῦ ὑπαλλήλου εἴδους.

Δεῦ-

(1) Ἤτοι μέσον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Δεύτερον ἐςὶ λαβεῖν ἐκ τῶν εἰρημένων ὅτι ὁ Ορισμὸς, ἐπειδὴ λόγος ἐςὶ δηλωτικὸς τοῦ ὁριζομένου, διὰ τῶν σαφεςέρων πάντως ἀποδοτέος, ἀλλὰ μὴ διὰ τῶν κατὰ μεταφορὰν λεγομένων, ἢ ὁμωνύμως σημαντικῶν, ἀλλ᾽ ἐκ τῶν καθ᾽ αὑτὰ λεγομένων, καὶ συνωνύμως, καὶ σαφεςέρων.

Τρίτον ἐπειδὴ τῆς ὅλης τοῦ ὁριζομένου φύσεως ἐςὶ δηλωτικὸς, περιέχειν πάντα δέον τὰ οὐσιωδῶς ἐκείνου κατηγορούμενα ἀπὸ τοῦ ἀνωτάτου γένους μέχρι τῆς ἐσχάτης διαφορᾶς.

Περιεχομένων δὲ τῶν ἀνωτέρω πάντων ἐν τῷ προσεχεῖ γένει, ἀπόχρη μόνον τοῦτο λαβεῖν ἐν τῷ ὁρισμῷ μετὰ τῆς ἐσχάτης διαφορᾶς. ὅσα δὲ παρὰ ταῦτα τῷ ὁρισμῷ προσήκοντα εἰσὶν, ἐν ἄλλοις εἴρηνται. Ἐκ τῶν εἰρημένων τοιγαροῦν ἀνωτέρω συνάγεται μὴ δίδοσθαι Ορισμὸν τῶν ἀνωτάτω γενῶν, οὔτε μὴν τῶν καθ᾽ ἕκαςα. τῶν μὲν ὅτι οὐκ ἔχουσιν ἀνώτερα γένη ἀφ᾽ ὧν ὁρισθεῖεν. τῶν δὲ ὅτι οὐ συνίςηκε διαφοραῖς οὐσιώδεσι, καὶ εἰδοποιοῖς.

## Ἔκθεσις σύντομος.

# ΠΕΡΙ΄ ΣΟΦΙΣΤΙΚΩ͂Ν ἘΛΕ΄ΓΧΩΝ.

Τέτταρα γένη εἰσὶ τῶν ἐπιχειρημάτων οἷς ἐν τῷ διαλέγεσθαι χρώμεθα, ὡς ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος διδάσκει. Διδασκαλικὸν, Διαλεκτικὸν, Πειραςικὸν, καὶ Ἐριςικόν. Καὶ διδασκαλικὸν μὲν ἐςὶ λόγος, ὁ μὴ ἐκ τῆς τοῦ ἀποκρινομένου δόξης, ἀλλ᾽ ἐκ τῶν οἰκείων ἀρχῶν ἑκάςου τῶν ζητουμένων συλλογιζόμενος εἰς δεῖξιν τοῦ αὐτοῦ. Διαλεκτικὸν δὲ, λόγος ἐςὶν ὁ ἐκ τῶν ἐνδόξων ἑκάτερα συλλογίσασθαι τὰ ἀντικείμενα δυνάμενος.

Πειραςικοὶ δὲ λόγοι εἰσὶν, οἱ ἐκ τῶν δοκούντων τῷ ἀποκρινομένῳ, καὶ ὧν ἀναγκαῖον εἰδέναι διὰ τὴν Ἐπιςήμην ἣν ἐπαγγέλλεται συλλογιζόμενοι, περὶ ἧς τούτου πειρώμεθα. οὗτοι μέντοι ἐν τοῖς διαλεκτικοῖς λόγοις πλατύτερον λαμβανομένοις περιέχονται.

Τέταρτον εἶδος λόγων ποιοῦσιν οἱ ἐριςικοὶ, οἵτινες ἐκ τῶν φαινομένων μὲν ἐνδόξων, μὴ ὄντων δὲ, γίνονται συλλογιςικοὶ, ἢ μᾶλλον εἰπεῖν δοκοῦσι συλλογιςικοί.

Περὶ τοῦ πρώτου ἐδίδαξεν ὁ Φιλόσοφος ἐν τοῖς Ἀναλυτικοῖς. περὶ περὶ δὲ τοῦ δευτέρου, καὶ τρίτου ἐν τοῖς Τοπικοῖς. λείπεται ἄρα εἰπεῖν

ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΟΝΔΥΛΗΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006